

# HERACLITI EPHESII FRAGMENTA

**H. Diels & W. Kranz (edd.)**

TEXT

**archives équivalences**

**bibliothèque de philosophie**

**2003**



© 2003 Adrian Rezuş [LaTeX2ε-edition, *Addenda*, etc.]
© 2003 Équivalences [pdfLaTeX – hyperscreen]

This electronic edition is a ***non-profit*** publication
produced by pdfTeX 14.h &
created by LaTeX2ε with hyperref & hyperscreen

pdfTeX14.h © 2001 Hàn Thế Thành
LaTeX2ε © 1993–2001 the LaTeX3 project team *et al.*
hyperref © 1995–2001 Sebastian Rahtz
hyperscreen © 2001-2002 Adrian Rezuş [based on pdfscreen]
pdfscreen © 1999–2001 C. V. Radhakrishnan

typeset by babel [greekTeX] in *Kerkis* [*Adobe* type 1]
*Kerkis* © 2002 Department of Mathematics, University of the Ægæan
printed in the Netherlands – 8th December 2003



Ἡράκλειτος ὁ Ἐφέσιος

# Heracliti Ephesii Fragmenta

H. Diels & W. Kranz (edd.)

**Die Fragmente der Vorsokratiker**

Weidemann, Berlin: $^{6}$1951 [1, pp. 139--182]

M. Marcovich – J. Bollack & H. Wissmann – Ch. H. Kahn

***Addenda***

1967, 1972, 1979





# Ἡράκλειτος ὁ Ἐφέσιος

# *Heracliti Ephesii Fragmenta*[1]

[1] *Textus ed.* **DK** [**22** B *Fragmenta*]: H. Diels & W. Kranz (edd.) *Die Fragmente der Vorsokratiker*, Weidemann'sche Verlagsbuchhandlung, Berlin: $^{6}$1951, *1*, pp. 139--182. *Addenda*: **M** (1967), **BW** (1972), **K** (1979). *Sigla*: **K** – Charles H. Kahn *The Art and Thought of Heraclitus*, Cambridge University Press, Cambridge, etc. 1979; **BW** – Jean Bollack & Heinz Wissmann *Héraclite ou La Séparation*, Les Éditions de Minuit, Paris 1972; **M** – Miroslav Marcovich *Heraclitus, editio maior*, Los Andes University Press, Mérida [Venezuela] 1967 (rev. Academia Verlag, Sankt Augustin $^{2}$2001, addenda); **DK** – Hermann Diels & Walther Kranz *Die Fragmente der Vorsokratiker*, Berlin 1903, $^{5}$1934 (rev. W. Kranz), $^{6=R}$1951–1952 (addenda), ..., $^{10=R}$1960, etc.; **B** – Ingram Bywater *Heracliti Ephesii reliquiae*, Clarendon Press, Oxford 1877 (London $^{R}$1970); **S** – Friedrich Schleiermacher *Herakleitos, der Dunkle, von Ephesos*, in: *Sämtliche Werke* [III. Abt.], *2*, Berlin 1838, pp. 1–146 (cf. *Herakleitos der Dunkle von Ephesos*, in: *Museum der Altertumswissenschaft 1*, 1808, pp. 313–533). *Spuria*: $^{\diamond}$[...] **BW**: ≪les textes considerés ou comme inauthentiques ou comme incomplets≫. $^{\diamond}$[...] **K** : "passages where we [do not] have Heraclitus' own words" (cf. **K**, *Appendix I: Dubious quotations from Heraclitus*, pp. 288–289).



## DK 1 – K 1 – M 1 – B 2 – S 47

Sextus Empiricus, *Adv. math.*, VII, 132 [cf. **DK** A **16**]
[cf. Hippolytus, *Refutatio haer.*, IX, 9, 1]
τοῦ δὲ λόγου τοῦδ' ἐόντος αἰεὶ ἀξύνετοι γίνονται ἄνθρωποι καὶ πρόσθεν ἢ ἀκοῦσαι καὶ ἀκούσαντες τὸ πρῶτον· γιγνομένων γὰρ πάντων κατὰ τὸν λόγον τόνδε, ἀπείροισιν ἐοίκασι πειρώμενοι καὶ ἐπέων καὶ ἔργων τοιούτεων ὁκοίων ἐγὼ διηγεῦμαι κατὰ φύσιν διαιρέων ἕκαστον καὶ φράζων ὅκως ἔχει. τοὺς δὲ ἄλλους ἀνθρώπους λανθάνει ὁκόσα ἐγερθέντες ποιοῦσιν ὅκωσπερ ὁκόσα εὕδοντες ἐπιλανθάνονται.
⇒[1]

## DK 2 – K 3 – M 23b – B 92 – S 48

Sextus Empiricus, *Adv. math.*, VII, 133
♢[διὸ δεῖ ἕπεσθαι τῷ (ξυνῷ, τουτέστι τῷ) κοινῷ· ξυνὸς γὰρ ὁ κοινός.] τοῦ λόγου δ' ἐόντος ξυνοῦ ζώουσιν οἱ πολλοὶ ὡς ἰδίαν ἔχοντες φρόνησιν.
⇒[2]

## DK 3 – K 47 – M 57

Aëtius, *Placita*, II, 21, 4 [Diels *Doxographi Graeci*, p. 351]
♢[περὶ μεγέθους ἡλίου] (ἥλίος·) εὖρος ποδὸς ἀνθρωπείου.

## DK 4 – K Appendix 1, p. 289 – M 38

Albertus Magnus, *De uegetabilibus*, VI, 401 [p. 545 Meyer & Jensen] [cf. **DK** B **13**]



♢[*Si felicitas esset in delectationibus corporis, boves felices diceremus, cum inveniant orobum ad comedendum.*]

## DK 4a

Anatolius [*cod. Mon. gr.* 384, f. 58]
♢[κατὰ λόγον δὲ ὡρέων συμβάλλεται ἑβδομάς κατὰ σελήνην, διαιρεῖται δὲ κατὰ τάς ἄρκτους, ἀθανάτου Μνήμης σημείω.]

## DK 5 – K 117 – M 86 – B 130,126

*Fragmente Griechischer Theosophien*, 68 [p. 184 H. Erbse]
[cf. Celsus, in: Origenes, *Contra Celsum*, VII, 62]
καθαίρονται δ’ ἄλλως αἵματι μιαινόμενοι, οἷον εἴ τις εἰς πηλὸν ἐμβὰς πηλῷ ἀπονίζοιτο· ♢[μαίνεσθαι δ’ ἂν δοκέοι εἴ τις αὐτὸν ἀνθρώπων ἐπιφράσαιτο οὕτω ποιέοντα.] καὶ τοῖς ἀγάλμασι δὲ τουτέοισιν εὔχονται, οἷον εἴ τις δόμοισι λεσχηνεύοιτο ♢[(οὔ τι γινώσκων θεοὺς οὐδ’ ἥρωας οἵτινές εἰσι)].
⇒[5]

## DK 6 – K 48a – M 58a – B 32 – S 29

Aristoteles, *Meteorologica*, B, 2, 355a13[–14]
♢[ὁ ἥλιος οὐ μόνον, καθάπερ ὁ Ἡ. φησί,] νέος ἐφ’ ἡμέρῃ ♢[ἐστίν, ἀλλ’ ἀεὶ νέος συνεχῶς.]
⇒[6]



## DK 7 – K 112 – M 78 – B 37 – S 24

Aristoteles, *De sensu*, 5, 443a[21-]23 [cf. *ibid.*, 5, 404b9]
εἰ πάντα τά ὄντα καπνὸς γένοιτο, ῥῖνες ἂν διαγνοῖεν.
⇒[7]

## DK 8 – K 75 – M 27d1/28c1

Aristoteles, *Ethica Nicom.*, *Θ*, 2, 1155b4 [cf. **DK** B **80**]
◇[Ἡ.] τὸ ἀντίξουν συμφέρον ◇[καὶ ἐκ τῶν διαφερόντων καλλίστην ἁρμονίαν καὶ πάντα κατ’ ἔριν γίνεσθαι].
⇒[8]

## DK 9 – K 71 – M 37 – B 51

Aristoteles, *Ethica Nicom.*, K, 5, 1176a7
ὄνους σύρματ’ ἂν ἑλέσθαι μᾶλλον ἢ χρυσόν.
⇒[9]

## DK 10 – K 124 – M 25 – B 59 – S 37bis

Ps.-Aristoteles, *De mundo*, 5, 396b7
◇[ἴσως δὲ τῶν ἐναντίων ἡ φύσις γλίχεται καὶ ἐκ τούτων ἀποτελεῖ τὸ σύμφωνον οὐκ ἐκ τῶν ὁμοίων, ὥσπερ ἀμέλει τὸ ἄρρεν συνήγαγε πρὸς τὸ θῆλυ καὶ οὐχ ἑκάτερον πρὸς τὸ ὁμόφυλον καὶ τὴν πρώτην ὁμόνοιαν διὰ τῶν ἐναντίων συνῆψεν, οὐ διὰ τῶν ὁμοίων. ἔοικε δὲ καὶ ἡ τέχνη τὴν φύσιν μιμουμένη τοῦτο ποιεῖν· ζωγραφία μὲν γὰρ λευκῶν



τε καὶ μελάνων ὠχρῶν τε καὶ ἐρυθρῶν χρωμάτων ἐγκερασαμένη φύσεις τάς εἰκόνας τοῖς προηγουμένοις ἀπετέλεσε συμφώνους, μουσικὴ δὲ ὀξεῖς ἅμα καὶ βαρεῖς μακρούς τε καὶ βραχεῖς φθόγγους μείξασα ἐν διαφόροις φωναῖς μίαν ἀπετέλεσεν ἁρμονίαν, γραμματικὴ δὲ ἐκ φωνηέντων καὶ ἀφώνων γραμμάτων κρᾶσιν ποιησαμένη τὴν ὅλην τέχνην ἀπάὐτῶν σὺνεστήσατο. ταὐτὸ δὲ τοῦτο ἦν καὶ τὸ παρά τῷ σκοτεινῷ λεγόμενον Ἡρακλείτῳ·] συλλάψιες ὅλα καὶ οὐχ ὅλα, ♢[συμφερόμενον διαφερόμενον, συνᾷδον διᾷδον, καὶ ἐκ πάντων ἓν καὶ ἐξ ἑνὸς πάντα.]

⇒[10]

### DK 11 – K 76 – M 80 – B 55 – S 37

Ps.-Aristoteles, *De mundo*, 6, 401a8–10

♢[τῶν τε ζῴων τά τε ἄγρια καὶ ἥμερα τά τε ἐν ἀέρι καὶ ἐπὶ γῆς καὶ ἐν ὕδατι βοσκόμενα γίνεταί τε καὶ ἀκμάζει καὶ φθείρεται τοῖς τοῦ θεοῦ πειθόμενα θεσμοῖς·] πᾶν ♢[γὰρ] ἑρπετὸν ♢[(θεοῦ)] πληγῇ νέμεται, ♢[ὥς φησιν Ἡράκλειτος].

⇒[11]

### DK 12 – K 50 – M 40a – B 42 – S 21

Arius Didymus, in: Eusebius, *Praep. evang.*, XV, 20, 2

[= Arius Didymus, fr. 39, 2, ed. Diels, *Doxographi graeci*, p. 471, 4] [cf. **DK** B **91**]

♢[Ζήνων τὴν ψυχὴν λέγει αἴσθησιν ἢ ἀναθυμίασιν, καθάπερ Ἡ.· βουλόμενος γὰρ ἐμφανίσαι, ὅτι αἱ ψυχαὶ ἀναθυμιώμεναι νοεραὶ ἀεὶ γίνονται, εἴκασεν αὐτάς τοῖς ποταμοῖς, λέγων οὕτως·] ποταμοῖσι τοῖσιν αὐτοῖσιν ἐμβαίνουσιν ἕτερα καὶ ἕτερα ὕδατα ἐπιρρεῖ· ♢[καὶ ψυχαὶ δὲ ἀπὸτῶνὑγρῶν ἀναθυμιῶνται].



⇒[12]

## DK 13 – K 72a – M 36a1 – B 54

Athen. V p. 178f [cf. **DK** B **9**]
**DK 13a**: ♢[δεῖ γὰρ τὸν χαρίεντα μήτε ῥυπᾶν μήτε αὐχμεῖν μήτε βορβόρῳ χαίρειν καθ’ Ἡράκλειτον.]
Clemens Alex., *Stromateis*, I 2 [II 4, 3 St.] [cf. **DK** B **37**. 68 B 147. Plotinus I, 6, 6]
**DK 13b**: ὕες βορβόρῳ ἥδονται μᾶλλον ἢ καθαρῷ ὕδατι.
⇒[13]

## DK 14 – K 115 – M 87 – B 124–125 – S p. 525

Clemens Alex., *Protrepticus*, 22, 2
♢[τίσι δὴ μαντεύεται Ἡ. ὁ Ἐφέσιος·] νυκτιπόλοις, μάγοις, βάκχοις, λήναις, μύσταις· ♢[τούτοις ἀπειλεῖ τά μετά θάνατον, τούτοις μαντεύεται τὸ πῦρ·] τὰ ♢[γὰρ] νομιζόμενα κατ’ ἀνθρώπους μυστήρια ἀνιερωστὶ μυεῦνται.
⇒[14]

## DK 15 – K 116 – M 50 – B 127 – S 70

Clemens Alex., *Protrepticus*, 34, 5
εἰ μὴ ♢[γὰρ] Διονύσῳ πομπὴν ἐποιοῦντο καὶ ὕμνεον ᾆσμα αἰδοίοισιν, ἀναιδέστατα εἴργασται· ωὑτὸς δὲ Ἀίδης καὶ Διόνυσος, ὅτεῳ μαίνονται καὶ ληναΐζουσιν.
⇒[15]



**DK 16 – K 122 – M 81 – B 27 – S 40**

Clemens Alex., *Paedagogus*, II, 99, 5
◇[λήσεται μὲν γὰρ ἴσως τὸ αἰσθητὸν φῶς τις, τὸ δὲ νοητὸν ἀδύνατόν ἐστιν, ἢ ὥς φησιν Ἡ.·] τὸ μὴ δῦνόν ποτε πῶς ἄν τις λάθοι·

**DK 17 – K 4 – M 3 – B 5 – S 2**

Clemens Alex., *Stromateis*, II, 8, 1
οὐ ◇[γὰρ] φρονέουσι τοιαῦτα ◇[(οἱ)] πολλοί, ὁκόσοι ἐγκυρεύουσιν, οὐδὲ μαθόντες γινώσκουσιν, ἑωυτοῖσι δὲ δοκέουσι.
⇒[17]

**DK 18 – K 7 – M 11 – B 7 – S 6**

Clemens Alex., *Stromateis*, II, 24, 5
ἐάν μὴ ἔλπηται, ἀνέλπιστον οὐκ ἐξευρήσει, ἀνεξερεύνητον ἐὸν καὶ ἄπορον.

**DK 19 – K 17 – M 1g – B 90 – S p. 520**

Clemens Alex., *Stromateis*, II, 24, 5
◇[ἀπίστους εἶναί τινας ἐπιστύφων Ἡ. φησιν·] ἀκοῦσαι οὐκ ἐπιστάμενοι οὐδ’ εἰπεῖν.

**DK 20 – K 98 – M 99 – B 86 – S 55**

Clemens Alex., *Stromateis*, III, 14, 1



◊[῾Η. γοῦν κακίζων φαίνεται τὴν γένεσιν, ἐπειδάν φῇ·] γενόμενοι ζώειν ἐθέλουσι μόρους τ’ ἔχειν, μᾶλλον δὲ ἀναπαύεσθαι, καὶ παῖδας καταλείπουσι μόρους γενέσθαι.
⇒[20]

**DK 21 – K 89 – M 49 – B 64 – S 42**

Clemens Alex., *Stromateis*, III, 3, 21, 1
◊[οὐχὶ καὶ ῾Η. θάνατον τὴν γένεσιν καλεῖ ... ἐν οἷς φησι·] θάνατός ἐστιν ὁκόσα ἐγερθέντες ὁρέομεν, ὁκόσα δὲ εὕδοντες ὕπνος.
⇒[21]

**DK 22 – K 8 – M 10 – B 115 – S 5**

Clemens Alex., *Stromateis*, IV, 2, 4, 2
χρυσὸν γὰρ οἱ διζήμενοι γῆν πολλὴν ὀρύσσουσι καὶ εὑρίσκουσιν ὀλίγον.

**DK 23 – K 69 – M 45 – B 60 – S 69**

Clemens Alex., *Stromateis*, IV, 10, 1
Δίκης ὄνομα οὐκ ἂν ἔδεσαν, εἰ ταῦτα μὴ ἦν.
⇒[23]

**DK 24 – K 100 – M 96 – B 102 – S 54**

Clemens Alex., *Stromateis*, IV, 4, 16, 1
ἀρηϊφάτους θεοὶ τιμῶσι καὶ ἄνθρωποι.



**DK 25 – K 96 – M 97 – B 101 – S 53**

Clemens Alex., *Stromateis*, IV, 7, 49, 3

μόροι ♢[γὰρ] μέζονες μέζονας μοίρας λαγχάνουσι.

**DK 26 – K 90 – M 48 – B 77 – S 64**

Clemens Alex., *Stromateis*, IV, 141, 2

ἄνθρωπος ἐν εὐφρόνῃ φάος ἅπτεται ἑαυτῷ ♢[ἀποθανών], ἀποσβεσθείς ♢[ὄψεις], ζῶν δὲ ἅπτεται τεθνεῶτος εὕδων, ♢[ἀποσβεσθεὶς ὄψεις], ἐγρηγορὼς ἅπτεται εὕδοντος.

⇒[26]

**DK 27 – K 84 – M 74 – B 122 – S 52**

Clemens Alex., *Stromateis*, IV, 22, 144, 3

ἀνθρώπους μένει (ἀποθανόντας) τελευτήσαντας ἅσσα οὐκ ἔλπονται οὐδὲ δοκέουσιν.

**DK 28 – K 85, 87 – M 20,19 – B 118a,b – S 8a,b**

Clemens Alex., *Stromateis*, V, 1, 9, 3

**DK 28a**: δοκεόντων γὰρ ὁ δοκιμώτατος γινώσκει, φυλάσσειν·

**DK 28b**: ♢[καὶ μέντοι καὶ] Δίκη καταλήψεται ψευδῶν τέκτονας καὶ μάρτυρας.

⇒[28]



## DK 29 – K 97 – M 95 – B 111b – S 71

Clemens Alex., *Stromateis*, V, 9, 59, 5
αἱρεῦνται ♢[γὰρ] ἓν ἀντὶ ἁπάντων οἱ ἄριστοι, κλέος ἀέναον θνητῶν, οἱ δὲ πολλοὶ κεκόρηνται ὅκωσπερ κτήνεα.
⇒[29]

## DK 30 – K 37 – M 51 – B 20 – S 25

Clemens Alex., *Stromateis*, V, 14, 104, 2
κόσμον ♢[(τόνδε)], τὸν αὐτὸν ἁπάντων, οὔτε τις θεῶν, οὔτε ἀνθρώπων ἐποίησεν, ἀλλ' ἦν ἀεὶ καὶ ἔστιν καὶ ἔσται πῦρ ἀείζωον, ἁπτόμενον μέτρα καὶ ἀποσβεννύμενον μέτρα.
⇒[30]

## DK 31 – K 38–39 – M 53a,b – B 21, 23 – S 25–26

Clemens Alex., *Stromateis*, V, 14, 104, 3[–5]
**B 21**: ♢[(ὅτι δὲ καὶ γενητὸν καὶ φθαρτὸν εἶναι ἐδογμάτιζεν, μηνύει τά ἐπιφερόμενα·)] πυρὸς τροπαὶ· πρῶτον θάλασσα, θαλάσσης δὲ τὸ μὲν ἥμισυ γῆ, τὸ δὲ ἥμισυ πρηστήρ. ♢[δυνάμει γὰρ λέγει ὅτι τὸ πῦρ ὑπὸ τοῦ διοικοῦντος λόγου καὶ θεοῦ τά σύμπαντα δι' ἀέρος πρέπεται εἰς ὑγρὸν τὸ ὡς σπέρμα τῆς διακοσμήσεως, ὃ καλεῖ θάλασσαν, ἐκ δὲ τούτου αὖθις γίνεται γῆ καὶ οὐρανὸς καὶ τά ἐμπεριεχόμενα. ὅπως δὲ πάλιν ἀναλαμβάνεται καὶ ἐκπυροῦται, σαφῶς διὰ τούτων δηλοῖ·]
**B 23**: ♢[(γῆ)] θάλασσα διαχέεται καὶ μετρέεται εἰς τὸν αὐτὸν λόγον, ὁκοῖος πρόσθεν ἦν ♢[ἢ γενέσθαι γῆ].
⇒[31]



**DK 32 – K 118 – M 84 – B 65 – S 11**

Clemens Alex., *Stromateis*, V, 115, 1
ἓν τὸ σοφὸν μοῦνον λέγεσθαι οὐκ ἐθέλει καὶ ἐθέλει Ζηνὸς ὄνομα.
⇒[32]

**DK 33 – K 66 – M 104 – B 110 – S 45**

Clemens Alex., *Stromateis*, V, 14, 115, 2
νόμος καὶ βουλῇ πείθεσθαι ἑνός.

**DK 34 – K 2 – M 2 – B 3 – S 3**

Clemens Alex., *Stromateis*, V, 115, 3
[cf. Eusebius, *Praep. evang.*, XIII, 13, 42]
ἀξύνετοι ἀκούσαντες κωφοῖσιν ἐοίκασι· φάτις αὐτοῖσιν μαρτυρεῖ παρεόντας ἀπεῖναι.
⇒[34]

**DK 35 – K 9 – M 7 – B 49**

Clemens Alex., *Stromateis*, V, 140, 6
χρὴ ◊[γὰρ] εὖ μάλα πολλῶν ἵστορας φιλοσόφους ἄνδρας εἶναι ◊[καθ’ Ἡράκλειτον].

**DK 36 – K 102 – M 66 – B 68 – S 49**

Clemens Alex., *Stromateis*, VI, 17, 2

ψυχῇσιν θάνατος ὕδωρ γενέσθαι, ὕδατι δὲ θάνατος γῆν γενέσθαι, ἐκ γῆς δὲ ὕδωρ γίνεται, ἐξ ὕδατος δὲ ψυχή.

### DK 37 – K 72b – M 36c1

Columella, *De re rustica*, VIII, 4, 4 [cf. **DK** B **13**]
♢[*si modo credimus Ephesio Heracleto qui ait sues caeno, cohortales aves pulvere vel cinere lavari.*]

### DK 38 – K 24 – M 63b

Diogenes Laërtius, *Vitae*, I, 23
(Thales) ♢[δοκεῖ δὲ κατά τινας πρῶτος ἀστρολογῆσαι ... μαρτυρεῖ δ' αὐτὸ καὶ Ἡράκλειτος καὶ Δημόκριτος.]

### DK 39 – K 62 – M 100 – B 112 – S 15

Diogenes Laërtius, *Vitae*, I, 88
ἐν Πριήνῃ Βίας ἐγένετο ὁ Τευτάμεω, οὗ πλείων λόγος ἢ τῶν ἄλλων.
⇒[39]

### DK 40 – K 18 – M 16 – B 16 – S 13

Diogenes Laërtius, *Vitae*, IX, 1
πολυμαθίη νόον ♢[(ἔχειν)] οὐ διδάσκει· Ἡσίοδον γὰρ ἂν ἐδίδαξε καὶ Πυθαγόρην, αὖτίς τε Ξενοφάνεά (τε) καὶ Ἑκαταῖον.



⇒[40]

**DK 41 – K 54 – M 85 – B 19 – S 44**

Diogenes Laërtius, *Vitae*, IX, 1

♢[εἶναι γὰρ] ἓν τὸ σοφόν· ἐπίστασθαι γνώμην, ὅπῃ κυβερνᾶται πάντα διὰ πάντων.

⇒[41]

**DK 42 – K 21 – M 30 – B 119 – S p. 345**

Diogenes Laërtius, *Vitae*, IX, 1

τόν γε Ὅμηρον ♢[ἔφασκεν] ἄξιον ἐκ τῶν ἀγώνων ἐκβάλλεσθαι καὶ ῥαπίζεσθαι, καὶ Ἀρχίλοχον ὁμοίως.

⇒[42]

**DK 43 – K 104 – M 102 – B 103 – S 16**

Diogenes Laërtius, *Vitae*, IX, 2

ὕβριν χρὴ σβεννύναι μᾶλλον ἢ πυρκαϊήν

**DK 44 – K 65 – M 103 – B 100 – S 19**

Diogenes Laërtius, *Vitae*, IX, 2

μάχεσθαι χρὴ τὸν δῆμον ὑπὲρ τοῦ νόμου ♢[ὑπὲρ τοῦ γινομένου] ὅκως ὑπὲρ τείχεος.

⇒[44]



**DK 45 – K 35 – M 67 – B 71**

Diogenes Laërtius, *Vitae*, IX, 7
ψυχῆς πείρατα ἰὼν οὐκ ἂν ἐξεύροιο, πᾶσαν ἐπιπορευόμενος ὁδόν· οὕτω βαθὺν λόγον ἔχει.

**DK 46 – K Appendix 1, p. 289 – M 114**

Diogenes Laërtius, *Vitae*, IX, 7
♢[τήν τε οἴησιν ἱεράν νόσον ἔλεγε καὶ τὴν ὅρασιν ψεύδεσθαι.]

**DK 47 – K 11 – M 113**

Diogenes Laërtius, *Vitae*, IX, 73
μὴ εἰκῇ περὶ τῶν μεγίστων συμβαλλώμεθα.

**DK 48 – K 79 – M 39 – B 66 – S 56**

*Etymologicum magnum*, Art.: *βιός*
τῷ ♢[οὖν] τόξῳ ὄνομα βίος, ἔργον δὲ θάνατος.

**DK 49 – K 63 – M 98 – B 113**

Theodorus Prodromus, *Epistulae*, I [cf. Migne, p. 1240A]
εἷς ♢[ἐμοὶ] μύριοι, (ἐάν ἄριστος ᾖ.)

## DK 49a – K Appendix 1, p. 289 – M 40c2

Heraclitus, *Quaestiones homericae*, 24
◊[(ποταμοῖς τοῖς αὐτοῖς ἐμβαίνομέν τε καὶ οὐκ ἐμβαίνομεν, εἶμέν τε καὶ οὐκ εἶμέν.)]
⇒[49a]

## DK 50 – K 36 – M 26 – B 1

Hippolytus, *Refutatio haer.*, IX, 9, 1
◊[Ἡ. μὲν οὖν ἕνφησιν εἶναι τὸ πᾶν διαιρετὸν ἀδιαίρετον, γενητὸν ἀγένητον,θνητὸν ἀθάνατον, λόγον αἰῶνα, πατέρα υἱόν, θεὸν δίκαιον·] « οὐκ ἐμοῦ, ἀλλά τοῦ λόγου ἀκούσαντας ὁμολογεῖν σοφόν ἐστιν ἓν πάντα εἶναί » ◊[(ὁ Ἡ. φησι.)]

## DK 51 – K 78 – M 27 – B 45 – S 27

Hippolytus, *Refutatio haer.*, IX, 9, 2
◊[(καὶ ὅτι τοῦτο οὐκ ἴσασι πάντες οὐδὲ ὁμολογοῦσιν, ἐπιμέμφεται ὧδέ τως·)] οὐ ξυνιᾶσιν ὅκως διαφερόμενον ἑωυτῷ ὁμολογέει· παλίντροπος ἁρμονίη ὅκωσπερ τόξου καὶ λύρης.
⇒[51]

## DK 52 – K 94 – M 93 – B 79

Hippolytus, *Refutatio haer.*, IX, 9, 4
αἰὼν παῖς ἐστι παίζων, πεσσεύων· παιδὸς ἡ βασιληίη.
⇒[52]



**DK 53 – K 83 – M 29 – B 44 – S p. 408a**

Hippolytus, *Refutatio haer.*, IX, 9, 4

Πόλεμος πάντων μὲν πατήρ ἐστι, πάντων δὲ βασιλεύς, καὶ τοὺς μὲν θεοὺς ἔδειξε τοὺς δὲ ἀνθρώπους, τοὺς μὲν δούλους ἐποίησε, τοὺς δὲ ἐλευθέρους.

**DK 54 – K 80 – M 9 – B 47 – S 36**

Hippolytus, *Refutatio haer.*, IX, 9, 5

ἁρμονίη ἀφανὴς φανερῆς κρείττων.

**DK 55 – K 14 – M 5 – B 13**

Hippolytus, *Refutatio haer.*, IX, 9, 15

ὅσων ὄψις ἀκοὴ μάθησις, ταῦτα ἐγὼ προτιμέω.

**DK 56 – K 22 – M 21 – B 47a**

Hippolytus, *Refutatio haer.*, IX, 9, 6

ἐξηπάτηνται, ♢[(φησίν,)] οἱ ἄνθρωποι πρὸς τὴν γνῶσιν τῶν φανερῶν παραπλησίως Ὁμήρῳ, ὃς ἐγένετο τῶν Ἑλλήνων σοφώτερος πάντων. ἐκεῖνόν τε γὰρ παῖδες φθεῖρας κατακτείνοντες ἐξηπάτησαν εἰπόντες· ὅσα εἴδομεν καὶ ἐλάβομεν, ταῦτα ἀπολείπομεν, ὅσα δὲ οὔτε εἴδομεν οὔτ’ ἐλάβομεν, ταῦτα φέρομεν.



**DK 57 – K 19 – M 43 – B 35**

Hippolytus, *Refutatio haer.*, IX, 10, 2
διδάσκαλος ◊[δὲ] πλείστων Ἡσίοδος· τοῦτον ἐπίστανται πλεῖστα εἰδέναι, ὅστις ἡμέρην καὶ εὐφρόνην οὐκ ἐγίνωσκεν· ἔστι γὰρ ἕν.
⇒[57]

**DK 58 – K 73 – M 46 – B 57–58**

Hippolytus, *Refutatio haer.*, IX, 10, 3
◊[καὶ ἀγαθὸν καὶ κακόν (ἕν ἐστιν).] οἱ ◊[γοῦν] ἰατροί, ◊[(φησίν ὁ Ἡ.,)] τέμνοντες, καίοντες, πάντῃ βασανίζοντες, κακῶς τοὺς ἀρρωστοῦντας, ἐπαιτιῶνται μηδὲν ἄξιον μισθὸν λαμβάνειν, παρά τῶν ἀρρωστούντων ταὐτα ἐργαζόμενοι, τὰ ἀγαθὰ καὶ τὰς νόσους.
⇒[58]

**DK 59 – K 74 – M 32 – B 50**

Hippolytus, *Refutatio haer.*, IX, 9, 4
γναφείῳ ὁδὸς εὐθεῖα καὶ σκολιὴ ◊[(ἡ τοῦ ὀργάνου τοῦ καλουμένου κοχλίου ἐν τῷ γναφείῳ περιστροφὴ εὐθεῖα καὶ σκολιή· ἄνω γὰρ ὁμοῦ καὶ κύκλῳ περιέρχεται)] μία ἐστί◊[,] ◊[(φησί,)] καὶ ἡ αὐτή.
⇒[59]

**DK 60 – K 103 – M 33 – B 69 – S 28**

Hippolytus, *Refutatio haer.*, IX, 10, 4



ὁδὸς· ἄνω κάτω μία καὶ ὡυτή.
⇒[60]

**DK 61 – K 70 – M 35 – B 52**

Hippolytus, *Refutatio haer.*, IX, 10, 5
θάλασσα· ὕδωρ καθαρώτατον καὶ μιαρώτατον· ἰχθύσι μὲν πότιμον καὶ σωτήριον, ἀνθρώποις δὲ ἄποτον καὶ ὀλέθριον.
⇒[61]

**DK 62 – K 92 – M 47 – B 67 – S 50,51**

Hippolytus, *Refutatio haer.*, IX, 10, 6
ἀθάνατοι θνητοί, θνητοὶ ἀθάνατοι, ζῶντες τὸν ἐκείνων θάνατον, τὸν δὲ ἐκείνων βίον τεθνεῶτες.

**DK 63 – K 110 – M 73 – B 123**

Hippolytus, *Refutatio haer.*, IX, 10, 6
♢[λέγει δὲ καὶ σαρκὸς ἀνάστασιν ταύτης (τῆς) φανερᾶς, ἐν ᾗ γεγενήμεθα, καὶ τὸν θεὸν οἶδε ταύτης τῆς ἀναστάσεως αἴτιον οὕτως λέγων·] ἔνθα δ' ἐόντι ἐπανίστασθαι καὶ φύλακας γίνεσθαι ἐγερτὶ ζώντων καὶ νεκρῶν. ♢[λέγει δὲ καὶ τοῦ κόσμου κρίσιν καὶ πάντων τῶν ἐν αὐτῷ διὰ πυρός.]
⇒[63]



## DK 64 – K 119 – M 79 – B 28

Hippolytus, *Refutatio haer.*, IX, 10, 7
**B 28**: ◊[πυρὸς γίνεσθαι λέγων οὕτως·] τὰ δὲ πάντα οἰακίζει κεραυνός, ◊[τουτέστι κατευθύνει, κεραυνὸν (τὸ πῦρ λέγων τὸ αἰώνιον. λέγει δὲ καὶ φρόνιμον τοῦτο εἶναι) τὸ πῦρ καὶ τῆς διοικήσεως τῶν]
⇒[64]

## DK 65 – K 120 – M 79,55 – B 28,24 – S p. 430

Hippolytus, *Refutatio haer.*, IX, 10, 7
**B 24**: ◊[κεραυνὸν τὸ πῦρ λέγων τὸ αἰώνιον.] ◊[λέγει δὲ καὶ φρόνιμον τοῦτο εἶναι τὸ πῦρ καὶ τῆς διοκήσεως τῶν ὅλων αἴτιον· καλεῖ δὲ αὐτὸ] «χρησμοσύνην καὶ κόρον»· ◊[χρησμοσύνη δὲ ἐστιν ἡ διακόσμησις κατ' αὔτον, ἡ δὲ ἐκπύρωσις κόρος]
**DK 65**: (πῦρ·) χρησμοσύνη ◊[καὶ] κόρος◊[,] (πόλεμος εἰρήνη).
⇒[65]

## DK 66 – K 121 – M 82 – B 26

Hippolytus, *Refutatio haer.*, IX, 10, 7
**B 26**: ◊[κόρος.] πάντα ◊[γὰρ, φησί,] τὸ πῦρ ἐπελθὸν κρινεῖ καὶ καταλήψεται.
⇒[66]

## DK 67 – K 123 – M 77 – B 36

Hippolytus, *Refutatio haer.*, IX, 10, 7



ὁ θεὸς· ἡμέρη εὐφρόνη, χειμὼν θέρος, πόλεμος εἰρήνη, κόρος λιμός ◇[(τἀναντία ἅπαντα· οὗτος ὁ νοῦς)][,]· ἀλλοιοῦται δὲ ὅκωσπερ ◇[(πῦρ)], ὁπόταν συμμιγῇ θυώμασιν, ὀνομάζεται καθ’ ἡδονὴν ἑκάστου.

⇒[67]

## DK 67a – K Appendix 1, p. 289 – M 115

Hisdosus Scholasticus, *Comm. in Tim.*, 34b sq.

◇[*ita vitalis calor a sole procedens omnibus quae vivunt vitam subministrat. cui sententiae Heraclitus adquiescens optimam similitudinem dat de aranea ad animam, de tela araneae ad corpus,*] ◇[*sic(ut) aranea, ait, stans in medio telae sentit, quam cito musca aliquem filum suum corrumpit itaque illuc celeriter currit quasi de fili persectione dolens, sic hominis anima aliqua parte corporis laesa illuc festine meat quasi impatiens laesionis corporis, cui firme et proportionaliter iuncta est.*]

⇒[67a]

## DK 68 – K Appendix 1, p. 289 – M 88

Iamblichus, *De mysteriis*, I, 11

◇[καὶ διὰ τοῦτο εἰκότως αὐτά (sc. τὰ ἱερὰ θεάματά τινα καὶ ἀκούσματα τῶν αἰσχρῶν) « ἄκεα » Ἡράκλειτος προσεῖπεν, ὡς ἐξακούμενα τά δεινά καὶ τάς ψυχάς ἐξάντεις ἀπεργαζόμενα τῶν ἐν τῇ γενέσει συμφορῶν.]

⇒[68]



## DK 69 – K Appendix 1, p. 289 – M 98g

Iamblichus, *De mysteriis*, I, 15

◊[καὶ θυσιῶν τοίνυν τίθημι διττά εἴδη· τὰ μὲν τῶν ἀποκεκαθαρμένων παντάπασιν ἀνθρώπων, οἷα ἐφ' ἑνὸς ἄν ποτε γένοιτο σπανίως, ὥς φησιν Ἡράκλειτος, ἤ τινων ὀλίγων εὐαριθμήτων ἀνδρῶν· τά δ' ἔνυλα κτλ.]

## DK 70 – K 58 – M 92d

Iamblichus, *De anima*, in: Stobaeus, II, 1, 16

◊[πόσῳ δὴ οὖν βέλτιον] ◊[Ἡράκλειτος παίδων ἀθύρματα νενόμικεν εἶναι τά ἀνθρώπινα δοξάσματα.]

## DK 71 – K 5 – M 69b1

Marcus Aurelius, IV, 46

◊[μεμνῆσθαι δὲ καὶ τοῦ ἐπιλανθανομένου ᾗ ἡ ὁδὸς ἄγει.]

## DK 72 – K 5 – M 4 – B 93

Marcus Aurelius, IV, 46

ᾧ μάλιστα διηνεκῶς ὁμιλοῦσι ◊[λόγῳ τῷ τά ὅλα διοικοῦντι,] τούτῳ διαφέρονται, καὶ οἷς καθ' ἡμέραν ἐγκυροῦσι, ταῦτα αὐτοῖς ξένα φαίνεται.

⇒[72]



**DK 73 – K 5 – M 3c/1h1**

Marcus Aurelius, IV, 46
◇[(καὶ ὅτι) οὐ δεῖ ὥσπερ καθεύδοντας ποιεῖν καὶ λέγειν· (καὶ γὰρ καὶ τότε δοκοῦμεν ποιεῖν καὶ λέγειν).]
⇒[73]

**DK 74 – K 13 – M 89**

Marcus Aurelius, IV, 46
◇[(μεμνῆσθαι ὅτι) οὐ δεῖ (ὡς) παῖδας τοκεών(ων, τοῦτ)έστι κατὰ ψιλόν· καθότι παρειλήφαμεν.]
⇒[74]

**DK 75 – K 91 – M 1h2**

Marcus Aurelius, IV, 42
◇[(καὶ) τοὺς καθεύδοντας οἶμαι (ὁ Ἡράκλειτος) ἐργάτας εἶναι (λέγει καὶ συνεργοὺς τῶν ἐν τῷ κόσμῳ γινομένων).]

**DK 76 – K 41 – M 66e1 – B 25 – S p. 372, 376**

Marcus Aurelius, IV, 46
Maximus Tyr., XII 4, p. 489
◇[ζῇ πῦρ τὸν ἀέρος θάνατον καὶ ἀὴρ ζῇ τὸν πυρὸς θάνατον, ὕδωρ ζῇ τὸν γῆς θάνατον, γῆ τὸν ὕδατος.]



Plutarchus, *De E apud Delphous*, 18, 392c
◇[πυρὸς θάνατος ἀέρι γένεσις, καὶ ἀέρος θάνατος ὕδατι γένεσις.]
Marcus Aurelius, IV, 46
◇[ὅτι γῆς θάνατος ὕδωρ γενέσθαικαὶ ὕδατος θάνατος ἀέρα γενέσθαι καὶ ἀέρος πῦρ καὶ ἔμπαλιν.]

## DK 77 – K 108 – M 66d1

Porphyrius, *De antro nympharum*, 10
**DK 77a**: ◇[ὅθεν καὶ Ἡράκλειτον] ψυχῇσι ◇[φάναι] τέρψιν μὴ θάνατον ὑγρῇσι γενέσθαιν, ◇[τέρψιν δὲ εἶναι αὐταῖς τὴν εἰς γένεσιν πτῶσιν, ἀλλαχοῦ δὲ φάναι]
Numenius, in: Porphyrius, *De antro nympharum*, 10
[= Numenius, fr. 30 des Places, fr. 35 Thedinga] [= **DK** B **77b**]
**DK 77b**: ◇[ζῆν ἡμᾶς τὸν ἐκείνων θάνατον καὶ ζῆν ἐκείνας τὸν ἡμέτερον θάνατον.]
⇒[77]

## DK 78 – K 55 – M 90 – B 96 – S 66

Celsus, in: Origenes, *Contra Celsum*, VI, 12
ἦθος ◇[γὰρ] ἀνθρώπειον μὲν οὐκ ἔχει γνώμας, θεῖον δὲ ἔχει.

## DK 79 – K 57 – M 92a – B 97 – S 67

Celsus, in: Origenes, *Contra Celsum*, VI, 12
ἀνὴρ νήπιος ἤκουσε πρὸς δαίμονος ὅκωσπερ παῖς πρὸς ἀνδρός.



## DK 80 – K 82 – M 28 – B 62 – S 35

Celsus, in: Origenes, *Contra Celsum*, VI, 28
εἰδέναι δὲ χρὴ τὸν πόλεμον ἐόντα ξυνόν, καὶ δίκην ἔριν, καὶ γινόμενα πάντα κατ’ ἔριν καὶ χρεών.
⇒[80]

## DK 81 – K 26 – M 18 – B 138

Diogenes Babyl., in: Philodemus, *Rhetorica*, I, col. 62
♢[ἡ δὲ τῶν ῥητόρων εἰσαγωγὴ πάντα τὰ θεωρήματα πρὸς τοῦτ’ ἔχει τείνοντα καὶ κατά τὸν Ἡράκλειτον] ♢[κοπίδων ἐστὶν ἀρχηχός.]
Schol.
♢[κοπίδας τὰς λόγων τέχνας ἔλεγον ἄλλοι τε καὶ ὁ Τιμαιοςοὕτως γράφων. « ὥστε καὶ φαίνεσθαι μὴ τὸν Πυθαγόραν εὑρετὴνὄντα τῶν ἀληθινῶν κοπίδων μηδὲ τὸν ὑφ’ Ἡρακλείτου κατηγορούμενον, ἀλλ’ αὐτὸν τὸν Ἡράκλειτον εἶναι τὸν ἀλαζονευόμενον ».]

## DK 82 – K 56 – M 92b

Plato, *Hippias major*, 289A [cf. **DK** B **83**, ibid., 289B]
♢[πιθήκων ὁ κάλλιστος αἰσχρὸς ἀνθρώπων γένει συμβάλλειν.]

## DK 83 – K 56 – M 92b

Plato, *Hippias major*, 289B



♢[ἀνθρώπων ὁ σοφώτατος πρὸς θεὸν πίθηκος (φανεῖται καὶ σοφίᾳ κάλλει καὶ τοῖς ἄλλοις πᾶσιν).]

## DK 84 – K 52–53 – M 56a,b

Plotinus, *Enneades*, IV, 8(6), 1, 14
**DK 84a**: ♢[ὁ μὲν Ἡεράκλειτοσ ... εἰπων ...] μεταβάλλον ἀναπαύεται ♢[καὶ]
**DK 84b**: κάματός ἐστι τοῖς αὐτοῖς μοχθεῖν καὶ ἄρχεσθαι.
⇒[84]

## DK 85 – K 105 – M 70 – B 105 – S 58

Aristoteles, *Ethica Eud.*, B, 7, 1223b23 sq.
[cf. Plutarchus, *Coriolanus* 22, 2]
θυμῷ μάχεσθαι χαλεπόν· ὅ γὰρ ἂν θέλῃ, ψυχῆς ὠνεῖται.

## DK 86 – K 86 – M 12 – B 116 – S 12

Clemens Alex., *Stromateis*, V, 13, 88, 4
♢[ἀλλά τῶν μὲν θείων τά πολλά, καθ’ Ἡράκλειτον,] ἀπιστίῃ διαφυγγάνει μὴ γιγνώσκεσθαι.

## DK 87 – K 60 – M 109 – B 117 – S 68

Plutarchus, *De audientis poetis*, 28D
βλάξ ἄνθρωπος ἐπὶ παντὶ λόγῳ φιλεῖ ἐπτοῆσθαι.



⇒[87]

**DK 88 – K 93 – M 41 – B 78 – S 38bis**

Ps.(?)-Plutarchus, *Consolatio ad Apollonium*, 106E
ταὐτό γ’ ἔνι ζῶν καὶ τεθνηκὸς καὶ (τὸ) ἐγρηγορὸς καὶ τὸ καθεῦδον καὶ νέον καὶ γηραιόν· τάδε γὰρ μεταπεσόντα ἐκεῖνά ἐστι, κἀκεῖνα (πάλιν) μεταπεσόντα ταῦτα.
⇒[88]

**DK 89 – K 6 – M 24**

Plutarchus, *De superstitione*, 3, 166C
◇[ὁ Ἡράκλειτός φησι] ◇[τοῖς ἐγρηγορόσιν ἕνα καὶ κοινὸν κόσμον εἶναι, τῶν δὲ κοινωμένων ἕκαστον εἰς ἴδιον ἀναστρέφεσθαι.]
⇒[89]

**DK 90 – K 40 – M 54 – B 22 – S 41**

Plutarchus, *De E apud Delphous*, 388D–E
πυρός τε ἀνταμείβεται πάντα καὶ πῦρ ἁπάντων ὅκωσπερ χρυσοῦ χρήματα καὶ χρημάτων χρυσός.
⇒[90]

**DK 91 – K 51 – M 40c3**

Plutarchus, *De E apud Delphous*, 392B



ποταμῷ ◊[γὰρ] οὐκ ἔστιν ἐμβῆναι δὶς τῷ αὐτῷ ◊[καθ’ Ἡράκλειτον].
Aristoteles, *Metaph.*, *Γ*, 5, 1010a12c
◊[οὐδὲ θνητῆς οὐσίας δὶς ἅψασθαι κατὰ ἕξιν· ἀλλ’ ὀξύτητι καὶ τάχει μεταβολῆς σκίδνησι καὶ πάλιν συνάγει, καὶ πρόσεισι καὶ ἄπεισι(ν).]
⇒[91]

**DK 92 – K 34 – M 75 – B 12 – S 9**

Plutarchus, *De Pythiae oraculis*, 397A
◊[Οὐχ ὁρᾶις ..., ὅσην χάριν ἔχει τά Σαπφικά μέλη, κηλοῦντα καὶ καταθέλγοντα τοὺς ἀκροωμένους·]
Σίβυλλα δὲ μαινομένῳ στόματι ◊[καθ’ Ἡράκλειτον] ἀγέλαστα ◊[καὶ ἀκαλλώπιστα καὶ ἀμύριστα] φθεγγομένη ◊[χιλίων ἐτῶν ἐξικνεῖται τῇ φωνῇ διὰ τὸν θεόν.]
⇒[92]

**DK 93 – K 33 – M 14 – B 11 – S 10**

Plutarchus, *De Pythiae oraculis*, 404D
ὁ ἄναξ οὗ τὸ μαντεῖόν ἐστι τὸ ἐν Δελφοῖς οὔτε λέγει οὔτε κρύπτει ἀλλὰ σημαίνει.

**DK 94 – K 44 – M 52 – B 29 – S 30**

Plutarchus, *De exilio*, 604A–B
Ἥλιος ◊[γὰρ] οὐχ ὑπερβήσεται ◊[τὰ] μέτρα· εἰ δὲ μή, Ἐρινύες μιν Δίκης ἐπίκουροι ἐξευρήσουσιν.



## DK 95 – K 107 – M 110a3 – B 108 – S 1

Plutarchus, *Quaestiones conviviales*, 644F
[cf. Plutarchus, *De audiendo*, 43D]
ἀμαθίην ♢[γὰρ] ἄμεινον ♢[ὥς φησιν Ἡράκλειτος,] κρύπτειν· ♢[(τὰ) ἔργον δὲ ἐν ἀνέσει καὶ παρ’ οἶνον.]
⇒[95]

## DK 95a

Stobaeus, *Florilegium*, I 175
κρύπτειν ἀμαθίην κρέσσον ♢[ἢ ἐς τὸ μέσον φέρειν].
⇒[95a]

## DK 96 – K 88 – M 76 – B 85 – S 43

Plutarchus, *Quaestiones conviviales*, IV, 4, 3, 669A
[cf. Strabo, XVI, 26]
νέκυες ♢[γὰρ] κοπρίων ἐκβλητότεροι.

## DK 97 – K 61 – M 22 – B 115 – S 5

Plutarchus, *An seni respublica gerenda sit*, 787C
κύνες ♢[γὰρ] καὶ βαΰζουσιν ὃν ἂν μὴ γινώσκωσι(ν).



### DK 98 – K 111 – M 72

Plutarchus, *De facie in orbe lunae*, 28, 943E [V, 3, p. 84 Pohlenz]
αἱ ψυχαὶ ὀσμῶνται καθ’ Ἅιδην.
⇒[98]

### DK 99 – K 46 – M 60 – B 31 – S 32

Clemens Alex., *Protrepticus*, 113, 3
♢[Ἡεράκλειτος μὲν οὖν] εἰ μὴ ἥλιος ♢[φησὶν] ἦν, ♢[(ἕνεκα τῶν ἄλλων ἄστρων)] εὐφρόνη ♢[(ἂν)] ἦν.
⇒[99]

### DK 100 – K 42a – M 64 – B 34 – S p. 400

Plutarchus, *Quaestiones platonicae*, 4, 1007 D–E
♢[... περιόδους· ὧν ὁ ἥλιος ἐπιστάτης ὢν καὶ σκοπὸς ὁρίζειν καὶ βραβεύειν καὶ ἀναδεικνύναι καὶ ἀναφαίνειν μεταβολὰς καὶ ὥρας αἳ πάντα φέρουσι καθ’ Ἡράκλειτον κτλ.]

### DK 101 – K 28 – M 15 – B 80 – S 73

Plutarchus, *Adv. Coloten*, 1118C
ἐδιζησάμην ἐμεωυτόν.



**DK 101a – K 15 – M 6**

Polybius, XII, 27, 1
◊[δυεῖν γὰρ ὄντων κατά φύσιν ὡσανεί τινων ὀργάνων ἡμῖν, οἷς πάντα πυνθανόμεθα καὶ πολυπραγμονοῦμεν, ἀκοῆς καὶ ὁράσεως, ἀληθινωτέρας δ’ οὔσης οὐ μικρῷ τῆς ὁράσεως κατά τὸν Ἡράκλειτον·] ὀφθαλμοὶ γὰρ τῶν ὤτων ἀκριβέστεροι μάρτυρες.
⇒[101a]

**DK 102 – K 68 – M 91 – B 61 – S p. 409 sq.**

*Scholia Graeca in Homeri Iliadem*, ad *Λ* 4 [p. 445 H. Erbse, I, 1969]
[cf. Porphyrius, *Questiones homericae*, *Il.*, IV, 4; p. 69 Shrader]
τῷ μὲν θεῷ καλὰ πάντα καὶ ἀγαθὰ καὶ δίκαια, ἄνθρωποι δὲ ἃ μὲν ἄδικα ὑπειλήφασιν ἃ δὲ δίκαια.
⇒[102]

**DK 103 – K 99 – M 34**

Porphyrius, *Quaestiones homericae*, ad *Ξ*, 200
[cf. *ibid.*, *Il.*, XIV, 200, p. 190 Shrader]
ξυνὸν· ◊[γὰρ] ἀρχὴ καὶ πέρας ἐπὶ κύκλου περιφερείας ◊[κατὰ τὸν Ἡράκλειτον].
⇒[103]

**DK 104 – K 59 – M 101 – B 111a – S 71**

Proclus, *in Alcib.*, 256 [I, p. 117 Westerink]



τίς γὰρ αὐτῶν νόος ἢ φρήν· δήμων ἀοιδοῖσι πείθονται καὶ διδασκάλῳ χρείωνται ὁμίλῳ οὐκ εἰδότες ὅτι οἱ πολλοὶ κακοί, ὀλίγοι δὲ ἀγαθοί.

### DK 105 – K 23 – M 63a – B 119n – S p. 345

*Scholia* [A T] *in Homeri Iliadem*, ad Σ 251 [*Il.*, XVIII, 251]

῞Εκτορι δ ἦεν ἑταῖρος, [sc. Πουλυδάμας], ἰῇ δ' ἐν νυκτὶ γένοντο) Ἡ. Ἐντεῦθεν ἀστρολόγον φησὶτὸν Ὅμηρον καὶ ἐνοῖς φησι τὸν « μοῖραν δ' οὔ τινά φημι πεφυγμένον ἔμμεναι ἀνδρῶν » κτλ.

### DK 106 – K 20 – M 59

Seneca, *Epistulae*, 12, 7

[cf. Plutarchus, *Camillus*, 19, 3]

♢[περὶ δ' ἡμερῶν ἀποφράδων εἴτεχρὴ τίθεσθαί τινας εἴτε ὀρθῶς Ἡράκλειτος ἐπέπληξεν Ἡσιόδῳ τάς μὲν ἀγαθάς ποιουμένῳ, τάς δὲ φαύλας,] ὡς ἀγνοοῦντι φύσιν ἡμέρας ἁπάσης μίαν οὖσαν♢[,] ♢[ἑτέρωθι διηπόρηται].

⇒[106]

### DK 107 – K 16 – M 13 – B 4 – S 22

Sextus Empiricus, *Adv. math.*, VII, 126

κακοὶ μάρτυρες ἀνθρώποισιν ὀφθαλμοὶ καὶ ὦτα βαρβάρους ψυχάς ἐχόντων.



## DK 108 – K 27 – M 83 – B 65 – S 11

Stobaeus, *Florilegium*, III, 1, 174
♢[Ἡρακλείτου.] ὁκόσων λόγους ἤκουσα, οὐδεὶς ἀφικνεῖται ἐς τοῦτο, ὥστε γινώσκειν ὅ τι σοφόν ἐστι πάντων κεχωρισμένον.

## DK 109 – K 107 – M 110a3

Stobaeus, *Florilegium*, III, 1, 175
[cf. **DK** B **95**: Plutarchus, *Quaestiones conviviales*, 644F]
κρύπτειν ἀμαθίην κρέσσον ♢[ἢ ἐς τὸ μέσον φέρειν].
⇒[109]

## DK 110 – K 67 – M 71 – B 104 – S 39

Stobaeus, *Florilegium*, III, 1, 176
ἀνθρώποις γίνεσθαι ὁκόσα θέλουσιν οὐκ ἄμεινον.

## DK 111 – K 67 – M 44 – B 104 – S 39

Stobaeus, *Florilegium*, III, 1, 177
νοῦσος ὑγιείην ἐποίησεν ἡδὺ, κακὸν ἀγαθόν, λιμὸς κόρον, κάματος ἀνάπαυσιν.

## DK 112 – K 32 – M 23f – B 107 – S p. 479

Stobaeus, *Florilegium*, III, 1, 178



τὸ φρονεῖν ἀρετὴ μεγίστη, καὶ σοφίη ἀληθέα λέγειν καὶ ποιεῖν κατά φύσιν ἐπαΐοντας.
⇒[112]

## DK 113 – K 31 – M 23d – B 91a – S p. 478

Stobaeus, *Florilegium*, III, 1, 179
ξυνόν ἐστι (πᾶσι) τὸ φρονέειν.

## DK 114 – K 30 – M 23a – B 91b – S 18

Stobaeus, *Florilegium*, III, 1, 179
ξὺν νόῳ λέγοντας ἰσχυρίζεσθαι χρὴ τῷ ξυνῷ πάντων, ὅκωσπερ νόμῳ πόλις, καὶ πολὺ ἰσχυροτέρως· τρέφονται γὰρ πάντες οἱ ἀνθρώπειοι νόμοι ὑπὸ ἑνὸς τοῦ θείου· κρατεῖ γὰρ τοσοῦτον ὁκόσον ἐθέλει καὶ ἐξαρκεῖ πᾶσι καὶ περὶγίνεται.
⇒[114]

## DK 115 – K 101 – M 112

Stobaeus, *Florilegium*, III, 1, 180A
ψυχῆς ἐστι λόγος ἑαυτὸν αὔξων.

## DK 116 – K 29 – M 15f/23e – B 106 – S p. 520

Stobaeus, *Florilegium*, III, 5, 6
ἀνθρώποισι πᾶσι μέτεστι γινώσκειν ἑωυτοὺς καὶ σωφρονεῖν.



## DK 117 – K 106 – M 69 – B 73 – S 59

Stobaeus, *Florilegium*, III, 5, 7

ἀνὴρ ὁκόταν μεθυσθῇ, ἄγεται ὑπὸ παιδὸς ἀνήβου σφαλλόμενος, οὐκ ἐπαΐων ὅκη βαίνει, ὑγρήν τὴν ψυχὴς ἔχων.

## DK 118 – K 109 – M 68 – B 74–76 – S 60–62

Stobaeus, *Florilegium*, III, 5, 8

αὐγὴ ξηρὴ ψυχὴ, σοφωτάτη καὶ ἀρίστη

⇒[118]

## DK 119 – K 114 – M 94 – B 121 – S 57

Plutarchus, *Quaestiones platonicae*, 999E

◊[Ἡ. ἔφη ὡς] ἦθος ἀνθρώπῳ δαίμων.

⇒[119]

## DK 120 – K 45 – M 62 – B 30 – S 31

Strabo, *Geographia*, I, 1, 6

◊[βέλτιον δ' Ἡράκλειτος καὶ ὁμηρικώτέρως ὁμοίως ἀντὶ τοῦ ἀρκτιτοῦ τὴν ἄρκτον ὀνομάζων·] ἠοῦς καὶ ἑσπέρας τέρματα ἡ ἄρκτος καὶ ἀντίον τῆς ἄρκτου οὖρος αἰθρίου Διός.

◊[ὁ γὰρ ἀρκτικός ἐστι δύσεως καὶ ἀνατολῆς ὅρος, οὐχ ἡ ἄρκτος.]



**DK 121 – K 64 – M 105 – B 114 – S 46**

Diogenes Laërtius, *Vitae*, IX, 2
[cf. Strabo, *Geographia*, XIV, 25]
ἄξιον Ἐφεσίοις ἡβηδὸν ἀπάγξασθαι (πᾶσι καὶ τοῖς ἀνήβοις τὴν πόλιν καταλιπεῖν), οἵτινες Ἑρμόδωρον ἄνδρα ἑωυτῶν ὀνήιστον ἐξέβαλον φάντες· ἡμέων μηδὲ εἷς ὀνήιστος ἔστω, εἰ δὲ μή, ἄλλη τε καὶ μετ' ἄλλων.

**DK 122 – K Appendix 1, p. 289 – M 111**

Suidas, *s.v.* *ἀγχιβατεῖν* / *ἀμφισβατεῖν* :
ἀγχιβασίην ♢[Ἡράκλειτος].

**DK 123 – K 10 – M 8 – B 10**

Proclus, *Comm. in Remp.* II [Philo, Themistius etc.]
φύσις ♢[δὲ καθ' Ἡράκλειτον] κρύπτεσθαι φιλεῖ.

**DK 124 – K 125 – M 107**

Theophrastus, *Metaph.*, 15
♢[ἄλογον δὲ κἀκείνοις δόξειεν ἄν, εἰ ὁ μὲν ὅλος οὐρανὸς καὶ ἕκαστα τῶν μερῶν ἅπαντ' ἐν τάξει καὶ λόγῳ, καὶ μορφαῖς καὶ δυνάμεσιν καὶ περιόδοις, ἐν δὲ ταῖς ἀρχαῖς μηθὲν τοιοῦτον, ἀλλ' ] ὥσπερ σάρμα εἰκῇ κεχυμένον ὁ κάλλιστος♢[,] ♢[φησὶν Ἡράκλειτος,] [ὁ] κόσμος.
⇒[124]



## DK 125 – K 77 – M 31

Theophrastus, *De vertigine*, 9–10
καὶ ὁ κυκεὼν διίσταται (μὴ) κινούμενος.
⇒[125]

## DK 125a – K Appendix 1, p. 289 – M 106

Tzetzes, *Plutus*, 90A
◇[τυφλὸν δὲ τὸν Πλοῦτον ποιεῖ ὡς οὐκ ἀρετῆς, κακίας δὲ παραιτίου. ὅθεν καὶ Ἡ. ὁ Ἐφέσιος ἀρώμενος Ἐφεσίοις, οὐκ ἐπευχόμενος·] μὴ ἐπιλίποι ὑμᾶς πλοῦτος, ◇[ἔφη,] Ἐφέσιοι, ἵν' ἐξελέγχοισθε πονηρευόμενοι.
⇒[125a]

## DK 126 – K 49 – M 42 – B 39

Tzetzes, *Scholia ad Exegesin in Iliadem* [p. 126 Hermann]
[cf. Aristoteles, *Meteor.*, I, 9, 346b35–347a3]
◇[τά ψυχρά θέρεται, θερμὸν ψύχεται, ὑγρὸν αὐαίνεται, καρφαλέον νοτίζεται.]

## DK 126a

Anatolius, *De decade*
◇[κατά λόγον δὲ ὡρέων συμβάλλεται ἑβδομάς κατά σελήνην, διαιρεῖται δὲ κατά τάς ἄρκτους, ἀθανάτου Μνήμης σημείω.]



## DK 126b

Anonymus
◇[Ἐπίχαρμος ὁ (ὁμιλή)σας τοῖς Πυθα(γορείοις) ἄλλα τ(έ) τινα ἐ(πινενόη)κεν δ(ειν)ά τ(όν τε περὶ τὸ)ῦ αὔξο(μένον λόγον). Ἐφοδ(εύει δὲ κατά τὸ) Ἡρα(κλείτου) « ἄλλως ἄ(λλο ἀεὶ αὔξε)ται πρὸς ὅ (ἂν ῇ ἐλλι)πές ». εἰ οὖν (μηδεὶς) (παύε)ται (ῥέων καὶ ἀλ)λ(άτ)των (τὸ εἶδος, αἱ) οὐσίαι ἄλλ(οτε ἄλλαι) γίνονται (κατά συν)εχῆ ῥύσιν.]

## DK 127

*Fragmente Griechischer Theosophien*, 69 [p. 184 H. Erbse]
◇[ὁ αὐτὸς πρὸς Αἰγυπτίους ἔφη·] ◇[εἰ θεοί εἰσιν, ἵνα τί θρηνεῖτε αὐτούς· εἰ δὲ θρηνεῖτε αὐτούς, μηκέτι τούτους ἡγεῖσθε θεούς.]

## DK 128

*Fragmente Griechischer Theosophien*, 74 [p. 185 H. Erbse]
◇[ὅτι ὁ Ἡράκλειτος ὁρῶν τοὺς Ἕλληνας γέρα τοῖς δαίμοσιν ἀπονέμοντας εἶπεν·] ◇[δαιμόνων ἀγάλμασιν εὔχονται (οὐκ) ἀκούουσιν, ὥσπερ ἀκούοιεν, οὐκ ἀποδιδοῦσιν, ὥσπερ (οὐκ) ἀπαιτοῖεν.]

## DK 129 – K 25 – M 17 – B 17 – S 14

Diogenes Laërtius, *Vitae*, VIII, 6
Πυθαγόρης Μνησάρχου ἱστορίην ἤσκησεν ἀνθρώπων μάλιστα πάντων καὶ ἐκλεξάμενος ταύτας τάς συγγραφάς ἐποιήσατο ἑωυτοῦ σοφίην, πολυμαθείην, κακοτεχνίην.



**DK 130**

*Gnomologium Monacense Latinum*, I, 19
◊[*non convenit ridiculum esse ita, ut ridiculus ipse videaris.*]

**DK 131**

*Gnomologium Parisinum* [suppl. 134], n. 209
◊[ὁ δὲ γε Ἡ.] ◊[ἔλεγε τὴν οἴησιν προκοπῆς ἐγκοπήν.]

**DK 132**

*Gnomologium Vaticanum*, 743, n. 312
◊[τιμαὶ θεοὺς καὶ ἀνθρώπους καταδουλοῦνται.]

**DK 133**

*Gnomologium Vaticanum*, n. 313
◊[ἄνθρωποι κακοὶ ἀληθινῶν ἀντίδικοι.]

**DK 134**

*Gnomologium Vaticanum*, n. 314
◊[(Ἡράκλειτοσ) τὴν παιδείαν ἕτερον ἥλιον εἶναι τοῖς πεπαιδευμένοις (ἔλεγειν).]



## DK 135

*Gnomologium Vaticanum*, n. 315

♢[(ὁ αὐτὸς) συντομωτάτην ὁδὸν (ἔλεγεν) εἰς εὐδοξίαν τὸ γενέσθαι ἀγαθόν.]

## DK 136

Maxim. *Serm.*, 8 [p. 557]

ἡ εὔκαιρος χάρις λιμῷ καθάπερ τροφὴ ἁρμόττουσα τὴν τῆς ψυχῆς ἔνδειαν ἰᾶται.

*Scholia ad Epicteti Dissertationes*, IV, 7, 27

♢[Ἡρακλείτου·] ♢[ψυχαὶ ἀρηίφατοι καθαρώπεραι ἢ ἐνὶ νούσοις.]

## DK 137

Stobaeus, *Florilegium*, I, 5, 15

♢[πάντα δὲ καθ' εἱμαρμένη, τὴν δ' αὐτὴν ὑπάρχειν ἀνάγκην·] ♢[γράφει γοῦν· « ἔστι γὰρ εἱμαρμένη πάντως ».]

⇒[137]

## DK 138

*Codex Parisinus*, 1630

♢[Ἡρακλείτου φιλοσόφου κατά τοῦ βίου.] ♢[Ποίην τις βιότοιο τάμῃ τρίβον· ...]



## DK 139

*Catal. Codd. Astrol. Graec.*, IV, 32, VII, 106

◊[Ἡρακλείτου φιλοσόφου.] ◊[Ἐπειδὴ φασί τινες εἰς ἀρχάς κεῖσθαι τά ἄστρα … μέχρις οὗ ἐθέλει ὁ ποιήσας αὐτόν.]



# *Addenda*[2]

[2] *Sigla*: **K** – Charles H. Kahn (1979); **BW** – Jean Bollack & Heinz Wissmann (1972); **M** – Miroslav Marcovich (1967, $^{2}$2001); **DK** – Hermann Diels & Walther Kranz (1903, $^{5}$1934 [rev. W. Kranz], $^{6=R}$1951); **B** – Ingram Bywater (1877, $^{R}$1970); **S** – Friedrich Schleiermacher (1808, $^{R}$1838). *Spuria*: $^{\diamondsuit}$[...] **BW K** etc. *versus* $^{\heartsuit}$[*Heraclitus!*] **BW K** etc. [= *verba Heracliti*: «texte authentique», “genuine text”]. *Lectiones alterae*: $^{\Re}$[...] **M BW** [= *verba Heracliti*].



1 (τοῦ δὲ) (αἰεὶ) (πάντων) **DK BW**: [ex Hipp.] Sextus om., etc. || αἰεὶ **M BW** *vs* (ἀεὶ) **DK** || **BW = M = K**

2 ◊[διὸ … κοινός.] **B BW K**: Sextus add. || (ξυνῷ, τουτέστι τῷ) [Bekker] || διὸ … κοινός. **DK M** ♡[*Heraclitus!*]

5 οἷον εἴ τις **BW** *vs* ὁκοῖον εἴ τις **M K** || ἂν δοκοίη εἴ τις **BW** *vs* ἂν δοκέοι εἴ τις **M K** || ◊[μαίνεσθαι … ποιέοντα.] ◊[(οὔ … εἰσι)] **BW**: add. Celsus || ◊[καθαίρονται … (οὔ … εἰσι)] **K**

6 ◊[… οὐ μόνον … φησί,] ◊[ἀλλ' ἀεὶ … συνεχῶς.] **BW**: add. Aristoteles || ◊[ὁ ἥλιος … ἐστίν.] ◊[ἀλλ' ἀεὶ … συνεχῶς.] **K** || ℜ[(ὁ ἥλιος)· νέος ἐφ' ἡμέρῃ.] **BW**

7 ◊[εἰ πάντα … διαγνοῖεν.] **K**

8 ◊[Ἡ.] ◊[καὶ … γίνεσθαι] **BW**: add. Aristoteles || ◊[καὶ Ἡράκλειτός (φησιν) τὸ ἀντίξουν συμφέρον καὶ … γίνεσθαι.] **K**

9 ℜ[ὄνοι σύρματ' ἂν ἕλοιντο μᾶλλον ἢ χρυσόν.] **BW** || ◊[καθάπερ Ἡ. φησιν] ◊[ὄνους … χρυσόν.] **K**

10 συλλάψιες **M BW K** *vs* συνάψιες **DK** || ◊[ἴσως δὲ … Ἡρακλείτῳ·] **BW K** || ◊[συμφερόμενον … πάντα.] **BW** || ℜ[συλλάψιες· ὅλα καὶ οὐχ ὅλα.] **BW**

11 πληγῇ Stobaeus *vs* τὴν γῆν cod. **M BW K** || ◊[τῶν τε … θεσμοῖς·] ◊[γὰρ] ◊[(θεοῦ)] ◊[ὥς φησιν Ἡράκλειτος] **M BW K** || ℜ[πᾶν ἑρπετὸν πληγῇ νέμεται.] **BW** || **BW = M = K**

12 αἰσθητικὴν ἀναθυμίασιν **DK** *vs* αἴσθησιν ἢ ἀναθυμίασιν **BW** || ◊[Κλεάνθες … φησιν ὅτι Ζήνων … οὕτως·] **BW** || ◊[Ζήνων … οὕτως·] ◊[καὶ ψυχαὶ … ἀναθυμιῶνται] **K** ||



ℜ[ποταμοῖσι τοῖσιν αὐτοῖσιν ἐμβαίνουσιν ἕτερα καὶ ἕτερα ὕδατα ἐπιρρεῖ· καὶ ψυχαὶ δὲ ἀπὸτῶνὑγρῶν ἀναθυμιῶνται.] **BW**

13 ℜ[ὕες βορβόρῳ χαίρουσιν.] **BW** [≪texte reconstitué≫] ‖ **K 72a = M 36a1 = DK 13b**

14 ♢[τίσι δὴ ... τὸ πῦρ·] ♢[γὰρ] **M K** ‖ νυκτιπόλοις, μάγοις, βάκχοις, λήναις, μύσταις **DK BW K** ♡[*Heraclitus!*] ‖ ♢[τούτοις ... τὸ πῦρ·] **BW** add. Clemens ‖ ℜ[νυκτιπόλοι· μάγοι, βάκχοι, λῆναι, μύσται· τά νομιζόμενα κατ’ ἀνθρώπους μυστήρια ἀνιερωστὶ μυεῦνται.] **BW**

15 εἴργασται **M BW K** *vs* εἴργαστ’ ἄν· **DK**

17 ὁκόσοι ἐγκυρέυουσιν **BW**: cod. *vs* ὁκοίοις ἐγκυρέουσιν **M K** *vs* ὁκόσοι ἐγκυρεῦσιν **DK** ‖ ♢[(οἱ)] **M BW K** ‖ ♢[γὰρ] **BW**

20 ♢[μᾶλλον δὲ ἀναπαύεσθαι] **M K**: Clemens add. *vs* **BW** ♡[*Heraclitus!*]

21 ὕπαρ **M** *vs* ὕπνος **DK BW K**

23 ἔδεσαν **BW** (ἔδεισαν [Hoeschel]) *vs* ᾔδεσαν **DK M K** [Sylburg]

26 εὐφρόνῃ **DK M K** [Sylburg] εὐφρόσυνῃ Clemens, cod. ‖ ♢[ὄψεις] ♢[ἀποσβεσθεὶς ὄψεις] **DK** (♢[ἀποθανών] *al.*) *vs* **BW K** ♡[*Heraclitus!*]

28 δοκεόντων ... φυλάσσειν **BW**: cod. *vs* δοκέοντα ... φυλάσσει **DK M K** ‖ **M 20 = DK 28a = K 85** ‖ ♢[καὶ μέντοι καὶ] **M BW K** ‖ Δίκη ... μάρτυρας. **M 18 = K 87**

29 ἓν ἀντὶ ἁπάντων **M BW K** [Cobet] *vs* ἐναντία πάντων **DK**: Clemens cod.

30 (τόνδε) add. **B** *et al.* ‖ καὶ ἔσται, πῦρ ἀείζωον ἁπτόμενον ... **BW** (!) *vs* καὶ ἔσται πῦρ ἀείζωον, ἁπτόμενον ... **DK M K**



31 πυρὸς τροπαὶ· πρῶτον … πρηστήρ. **B 21 = DK 31a = M 53a = K 38** || θάλασσα διαχέεται … ἤ γενέσθαι γῆ. **B 23 = DK 31b = M 53b = K 39** || ♢[(ὅτι δὲ … ἐπιφερόμενα·)] ♢[δυνάμει … δηλοῖ·] ♢[ἤ γενέσθαι γῆ] **BW** || **B 23**: ♢[(γῆ)] **BW**: mod. add. [≪interprétation fausse de la glose≫]

32 ἓν τὸ σοφόν· μοῦνον … **BW** (!) *vs* ἓν τὸ σοφὸν μοῦνον … **DK M K**

34 ἀξύνετοι· ἀκούσαντες … **BW** (!) *vs* ἀξύνετοι ἀκούσαντες … **DK** || αὐτοῖσιν **DK BW**: Clemens *vs* αὐτοῖσι **M K** Eusebius

39 πλείων **BW** *vs* πλέων **DK M K**

40 ♢[(ἔχειν)] **BW**: Clemens, Athen. add.

41 ὁτέη, κυβερνῆσαι **BW** *vs* ὅκη κυβερνῆσαι **M K** *vs* ὅπῃ κυβερνᾶται **DK** *vs* ὅτε ἦ κυβερνῆσαι var. cod. *vs* ὅτι ἐνκυβερνῆσαι var. cod. || ♢[εἶναι γὰρ] **BW M K**

42 γε **BW** *vs* τε **DK M K**: var. cod. || ♢[ἔφασκεν] **BW**

44 ὅκως ὑπὲρ **BW M K** *vs* ὅκωσπερ **DK** || ♢[ὑπὲρ τοῦ γινομένου] **DK M K** *vs* **BW** ♡[*Heraclitus!*]

49a ♢[(ποταμοῖς … εἶμέν.)] **DK K** *vs* **BW** ♡[*Heraclitus!*] || cf. Seneca, *Epistulae*, 58, 23: *in idem flumen bis descendimus et not descendimus*

51 συμφέρεται **M** *vs* ὁμολογέει **DK BW K** || παλίντροπος **DK M BW**: Hippolytus *vs* παλίντονος Plutarchus

52 πεσσεύων **DK M BW K** [Lucian.] *vs* πεττεύων Hipp. *Vit. auct.*, 14

57 ♢[δὲ] **BW**



58 ἐπαιτιῶνται **BW** *vs* ἐπαιτέονται **DK** ‖ ἄξιον **BW** *vs* ἄξιοι **DK** ‖ ♢[πάντῃ … ἀρρωστοῦντας] ♢[παρά τῶν ἀρρωστούντων] **K** [Kirk] ‖ ταὐτὰ ἐργαζόμενοι, (τὰ ἀγαθά) καὶ αἱ νόσοι **M** [Willamowitz]

59 γραφέων **BW** *vs* γνάφων **M K**, γναφείῳ **DK** ‖ ἐν τῷ γραφείῳ **BW** *vs* ἐν τῷ γναφείῳ **DK** ‖ ♢[(ἡ τοῦ ὀργάνου … περιέρχεται)] **BW M K** ‖ ♢[μία ἐστί … αὐτή] **BW K** ‖ ℜ[γνάφων ὁδὸς εὐθεῖα καὶ σκολιὴ, μία ἐστί καὶ ἡ αὐτή.] **M** ‖ ℜ[γραφέων ὁδὸς εὐθεῖα καὶ σκολιὴ.] **BW**

60 ὁδὸς· ἄνω … **BW** (!) *vs* ὁδὸς ἄνω … **DK M K**

61 θάλασσα· ὕδωρ … **DK BM** (!) *vs* θάλασσα ὕδωρ … **M K**

63 ♢[λέγει δὲ … λέγων·] ♢[λέγει δὲ … διά πυρὸς.] **M BW K**

64 τάδε **M BW K** [Boeder] *vs* τὰ δὲ **DK**: cod. ‖ ℜ[τάδε πάντα οἰακίζει κεραυνός.] **M** ‖ **BW = M = K**

65 (πῦρ·) (πόλεμος εἰρήνη) **DK** Gigon suppl. ‖ ♢[καὶ] ♢[,] **DK** ‖ ℜ[χρησμοσύνη καὶ κόρος.] **BW** ‖ ♢[κεραυνὸν … ἡ δὲ ἐκπύρωσις κόρος] **K**

66 ♢[κόρος.] ♢[γὰρ, φησί,] **B M BW K**

67 ὁ θεὸς· … λιμός· **BW** (!) *vs* ὁ θεὸς· … λιμός. **DK** ‖ ὁ θεὸς♢[·] … λιμός. **M K** ‖ δὲ ὅκωσπερ (πῦρ), ὁπόταν **DK**: Diels add. *vs* ♢[(πῦρ),] **M** *vs* ♢[(πῦρ)] **BW**

67a ♢[*ita … iuncta est*] **DK** ♢[*sic(ut) … iuncta est*] **BW**

68 ἐξακούμενα **BW** *vs* ἐξακεσόμενα **DK**, ἐξακουόμενα cod.

72 ♢[λόγῳ … διοικοῦντι,] **BW** [≪glose≫] ‖ ♢[ᾧ μάλιστα … φαίνεται.] **K**



73 ◊[(καὶ ὅτι) … λέγειν.] **BW K** ‖ (καὶ γὰρ … λέγειν) **BW** [≪glose≫: Marcus Aurelius]

74 τοκεώνων **M BW K** [Rendall] *vs* τοκεών, ὧν **DK**: cod. ‖ τοκεώνων, *sc.* ποεῖν καὶ λέγειν **K**

77 μὴ **BW K** *vs* ἢ **DK M** ‖ ◊[ὅθεν … γενέσθαιν,] ◊[τέρψιν … δὲ φάναι] **K** ‖ ℜ[ψυχῇσι τέρψις· μὴ θάνατον ὑγρῇσι γενέσθαι.] **BW 77a** ‖ ◊[ζῆν … θάνατον.] **BW K**

80 εἰ δὲ χρὴ, **BW** *vs* εἰδέ(ναι) χρὴ **M K** ‖ εἰδέναι δὲ χρὴ **DK** ‖ χρεώμενα **M K**: cod. *vs* χρεών **DK**: Diels corr. ‖ ℜ[εἰ δὲ χρὴ, τὸν πόλεμον, ἐόντα ξυνόν, καὶ δίκην ἔριν, καὶ γινόμενα πάντα κατ’ ἔριν, καὶ χρεώμενα.] **BW**

81 ◊[κοπίδων ἀρχηχός.] **BW**

82 ◊[πιθήκων ὁ κάλλιστος αἰσχρὸς.] **BW**

84 ◊[ὁ μὲν Ἡ. … ἄρχεσθαι] **K** ‖ ◊[ὁ μὲν … εἴπων …] ◊[καὶ] **BW** ‖ **BW 84b = DK 84b**

85 ℜ[χαλεπὸν θυμῷ μάχεσθαι· ψυχῆς γὰρ ὠνεῖται.] **BW**

87 ἐπτοῆσθαι φιλεῖ **DK**

88 γ’ ἔνι **BW** *vs* τ’ ἔνι **DK**, ◊[(τ’ ἔνι)] **K** ‖ (πάλιν) **DK M BW K** ♡[*Heraclitus!*]

89 ἀναστρέφεσθαι **BW** *vs* ἀποστρέφεσθαι **DK M K**

90 τε ἀνταμείβεται **BW** *vs* ◊[τε] ἀνταμοιβὴ τὰ **DK M K**

91 ◊[ποταμῷ … καθ’ Ἡ.] ◊[οὐδὲ … ἄπεισι(ν).] **K**

92 ◊[Οὐχ … Σίβυλλα … τὸν θεόν.] **BW K**

95 ◊[ἀμαθίην … καὶ παρ’ οἶνον.] **K**



95a ◇[ἢ ἐς τὸ μέσον φέρειν.] **BW**: Stobaeus add. [cf. **DK** B **109**] || ℜ[ἀμαθίην κρύπτειν ἄμεινον.] **BW**

98 ◇[αἱ ψυχαὶ … καθ' Ἀίδην.] **K**

99 ◇[Ἡ. … εἰ μὴ ἥλιος φησὶν ἦν, εὐφρόνη ἂν ἦν] **K** || ℜ[ἥλιος μὴ ὄντος, ἕνεκα τῶν ἄλλων ἄστρων εὐφρόνη ἄν ἦν.] **BW**

101a ◇[ὀφθαλμοὶ γὰρ … μάρτυρες.] **BW K**

102 καὶ ἀγαθὰ **M**: om. || ◇[τῷ μὲν … δίκαια.] **K** [“paraphrase”]

103 ◇[ξυνὸν … περιφερείας κατὰ τὸν Ἡ.] **K**

106 ◇[περὶ … φαύλας,] ◇[ἑτέρωθι διηπόρηται] **DK** || ◇[Ἡράκλειτος ἐπέπληξεν … μίαν οὖσαν] **K** || ℜ[φύσις ἡμέρας ἁπάσης μία.] **BW**

109 ◇[ἢ ἐς τὸ μέσον φέρειν.] **BW**: Stobaeus add. [cf. **DK** B **95**]

112 σωφρονεῖν **M BW**: cod. *vs* τὸ φρονεῖν **DK** [Diels] || ℜ[σωφρονεῖν ἀρετὴ μεγίστη καὶ σοφίη, … ἐπαΐοντας.] **M** || ℜ[σωφρονεῖν· ἀρετὴ μεγίστη καὶ σοφίη, … ἐπαΐοντας.] **BW**

114 πόλις καὶ πόλις ἰσχυροτέρως. **BW** [sic Stobaeus!] *vs* πόλις, καὶ πολὺ ἰσχυροτέρως· **DK M K**

118 αὔη ψυχὴ ◇[ξηρή], … **DK** [Stephanus] *vs* αὐγὴ ξηρὴ ψυχή, … **DK M K** [Diels] *vs* αὐγή· ξηρὴ ψυχή, … **BW** (!)

119 ℜ[ἦθος ἀνθρώπου· δαίμων.] **BW** [Plutarchus: gen. *vs* Stobaeus: dat.]

124 σάρμα **DK** [Diels] *vs* σάρξ cod. || ℜ[εἰκῇ κεχυμένον ὁ κάλλιστος· ὁ κόσμος.] **BW** || ◇[σάρμα … κόσμος.] **K**



125 (μὴ) **DK**: Theophrastus om. [Bernays: add] ‖ ♢[(μὴ)] **BW** [sic Theophrastus!] ‖ ♢[καὶ ὁ κυκεὼν... (μὴ) κινούμενος.] **K**

125a ♢[τυφλὸν ... πονηρευόμενοι.] **B DK K** *et al.* ‖ ♢[τυφλὸν ... οὐκ ἐπευχόμενος·] ♢[ἔφη,] **BW** ‖ μὴ ἐπιλίποι ... πονηρευόμενοι. **M BW** ♡[*Heraclitus!*]

137 εἱμαρμένη *vs* εἱμαρμένα **DK**: var. cod.

# Synopsis


*Heracliti Ephesii Fragmenta* **[Diels-Kranz** *et al.***]** **5**
DK 1 – K 1 – M 1 – B 2 – S 47 . . . . . 6
DK 2 – K 3 – M 23b – B 92 – S 48 . . . . . 6
DK 3 – K 47 – M 57 . . . . . 6
DK 4 – K Appendix 1, p. 289 – M 38 . . . . . 6
DK 4a . . . . . 7
DK 5 – K 117 – M 86 – B 130,126 . . . . . 7
DK 6 – K 48a – M 58a – B 32 – S 29 . . . . . 7
DK 7 – K 112 – M 78 – B 37 – S 24 . . . . . 8
DK 8 – K 75 – M 27d1/28c1 . . . . . 8
DK 9 – K 71 – M 37 – B 51 . . . . . 8
DK 10 – K 124 – M 25 – B 59 – S 37bis . . . . . 8
DK 11 – K 76 – M 80 – B 55 – S 37 . . . . . 9
DK 12 – K 50 – M 40a – B 42 – S 21 . . . . . 9
DK 13 – K 72a – M 36a1 – B 54 . . . . . 10
DK 14 – K 115 – M 87 – B 124–125 – S p. 525 . . . . . 10
DK 15 – K 116 – M 50 – B 127 – S 70 . . . . . 10
DK 16 – K 122 – M 81 – B 27 – S 40 . . . . . 11

DK 17 – K 4 – M 3 – B 5 – S 2 . . . 11
DK 18 – K 7 – M 11 – B 7 – S 6 . . . 11
DK 19 – K 17 – M 1g – B 90 – S p. 520 . . . 11
DK 20 – K 98 – M 99 – B 86 – S 55 . . . 11
DK 21 – K 89 – M 49 – B 64 – S 42 . . . 12
DK 22 – K 8 – M 10 – B 115 – S 5 . . . 12
DK 23 – K 69 – M 45 – B 60 – S 69 . . . 12
DK 24 – K 100 – M 96 – B 102 – S 54 . . . 12
DK 25 – K 96 – M 97 – B 101 – S 53 . . . 13
DK 26 – K 90 – M 48 – B 77 – S 64 . . . 13
DK 27 – K 84 – M 74 – B 122 – S 52 . . . 13
DK 28 – K 85, 87 – M 20,19 – B 118a,b – S 8a,b . . . 13
DK 29 – K 97 – M 95 – B 111b – S 71 . . . 14
DK 30 – K 37 – M 51 – B 20 – S 25 . . . 14
DK 31 – K 38-39 – M 53a,b – B 21, 23 – S 25-26 . . . 14
DK 32 – K 118 – M 84 – B 65 – S 11 . . . 15
DK 33 – K 66 – M 104 – B 110 – S 45 . . . 15
DK 34 – K 2 – M 2 – B 3 – S 3 . . . 15
DK 35 – K 9 – M 7 – B 49 . . . 15
DK 36 – K 102 – M 66 – B 68 – S 49 . . . 15
DK 37 – K 72b – M 36c1 . . . 16
DK 38 – K 24 – M 63b . . . 16
DK 39 – K 62 – M 100 – B 112 – S 15 . . . 16
DK 40 – K 18 – M 16 – B 16 – S 13 . . . 16
DK 41 – K 54 – M 85 – B 19 – S 44 . . . 17
DK 42 – K 21 – M 30 – B 119 – S p. 345 . . . 17
DK 43 – K 104 – M 102 – B 103 – S 16 . . . 17
DK 44 – K 65 – M 103 – B 100 – S 19 . . . 17
DK 45 – K 35 – M 67 – B 71 . . . 18

DK 46 – K Appendix 1, p. 289 – M 114 . . . 18
DK 47 – K 11 – M 113 . . . 18
DK 48 – K 79 – M 39 – B 66 – S 56 . . . 18
DK 49 – K 63 – M 98 – B 113 . . . 18
DK 49a – K Appendix 1, p. 289 – M 40c2 . . . 19
DK 50 – K 36 – M 26 – B 1 . . . 19
DK 51 – K 78 – M 27 – B 45 – S 27 . . . 19
DK 52 – K 94 – M 93 – B 79 . . . 19
DK 53 – K 83 – M 29 – B 44 – S p. 408a . . . 20
DK 54 – K 80 – M 9 – B 47 – S 36 . . . 20
DK 55 – K 14 – M 5 – B 13 . . . 20
DK 56 – K 22 – M 21 – B 47a . . . 20
DK 57 – K 19 – M 43 – B 35 . . . 21
DK 58 – K 73 – M 46 – B 57-58 . . . 21
DK 59 – K 74 – M 32 – B 50 . . . 21
DK 60 – K 103 – M 33 – B 69 – S 28 . . . 21
DK 61 – K 70 – M 35 – B 52 . . . 22
DK 62 – K 92 – M 47 – B 67 – S 50,51 . . . 22
DK 63 – K 110 – M 73 – B 123 . . . 22
DK 64 – K 119 – M 79 – B 28 . . . 23
DK 65 – K 120 – M 79,55 – B 28,24 – S p. 430 . . . 23
DK 66 – K 121 – M 82 – B 26 . . . 23
DK 67 – K 123 – M 77 – B 36 . . . 23
DK 67a – K Appendix 1, p. 289 – M 115 . . . 24
DK 68 – K Appendix 1, p. 289 – M 88 . . . 24
DK 69 – K Appendix 1, p. 289 – M 98g . . . 25
DK 70 – K 58 – M 92d . . . 25
DK 71 – K 5 – M 69b1 . . . 25
DK 72 – K 5 – M 4 – B 93 . . . 25

DK 73 – K 5 – M 3c/1h1 . . . 26
DK 74 – K 13 – M 89 . . . 26
DK 75 – K 91 – M 1h2 . . . 26
DK 76 – K 41 – M 66e1 – B 25 – S p. 372, 376 . . . 26
DK 77 – K 108 – M 66d1 . . . 27
DK 78 – K 55 – M 90 – B 96 – S 66 . . . 27
DK 79 – K 57 – M 92a – B 97 – S 67 . . . 27
DK 80 – K 82 – M 28 – B 62 – S 35 . . . 28
DK 81 – K 26 – M 18 – B 138 . . . 28
DK 82 – K 56 – M 92b . . . 28
DK 83 – K 56 – M 92b . . . 28
DK 84 – K 52-53 – M 56a,b . . . 29
DK 85 – K 105 – M 70 – B 105 – S 58 . . . 29
DK 86 – K 86 – M 12 – B 116 – S 12 . . . 29
DK 87 – K 60 – M 109 – B 117 – S 68 . . . 29
DK 88 – K 93 – M 41 – B 78 – S 38bis . . . 30
DK 89 – K 6 – M 24 . . . 30
DK 90 – K 40 – M 54 – B 22 – S 41 . . . 30
DK 91 – K 51 – M 40c3 . . . 30
DK 92 – K 34 – M 75 – B 12 – S 9 . . . 31
DK 93 – K 33 – M 14 – B 11 – S 10 . . . 31
DK 94 – K 44 – M 52 – B 29 – S 30 . . . 31
DK 95 – K 107 – M 110a3 – B 108 – S 1 . . . 32
DK 95a . . . 32
DK 96 – K 88 – M 76 – B 85 – S 43 . . . 32
DK 97 – K 61 – M 22 – B 115 – S 5 . . . 32
DK 98 – K 111 – M 72 . . . 33
DK 99 – K 46 – M 60 – B 31 – S 32 . . . 33
DK 100 – K 42a – M 64 – B 34 – S p. 400 . . . 33

DK 101 – K 28 – M 15 – B 80 – S 73 . . . 33
DK 101a – K 15 – M 6 . . . 34
DK 102 – K 68 – M 91 – B 61 – S p. 409 sq. . . . 34
DK 103 – K 99 – M 34 . . . 34
DK 104 – K 59 – M 101 – B 111a – S 71 . . . 34
DK 105 – K 23 – M 63a – B 119n – S p. 345 . . . 35
DK 106 – K 20 – M 59 . . . 35
DK 107 – K 16 – M 13 – B 4 – S 22 . . . 35
DK 108 – K 27 – M 83 – B 65 – S 11 . . . 36
DK 109 – K 107 – M 110a3 . . . 36
DK 110 – K 67 – M 71 – B 104 – S 39 . . . 36
DK 111 – K 67 – M 44 – B 104 – S 39 . . . 36
DK 112 – K 32 – M 23f – B 107 – S p. 479 . . . 36
DK 113 – K 31 – M 23d – B 91a – S p. 478 . . . 37
DK 114 – K 30 – M 23a – B 91b – S 18 . . . 37
DK 115 – K 101 – M 112 . . . 37
DK 116 – K 29 – M 15f/23e – B 106 – S p. 520 . . . 37
DK 117 – K 106 – M 69 – B 73 – S 59 . . . 38
DK 118 – K 109 – M 68 – B 74–76 – S 60–62 . . . 38
DK 119 – K 114 – M 94 – B 121 – S 57 . . . 38
DK 120 – K 45 – M 62 – B 30 – S 31 . . . 38
DK 121 – K 64 – M 105 – B 114 – S 46 . . . 39
DK 122 – K Appendix 1, p. 289 – M 111 . . . 39
DK 123 – K 10 – M 8 – B 10 . . . 39
DK 124 – K 125 – M 107 . . . 39
DK 125 – K 77 – M 31 . . . 40
DK 125a – K Appendix 1, p. 289 – M 106 . . . 40
DK 126 – K 49 – M 42 – B 39 . . . 40
DK 126a . . . 40

DK 126b . . . . . 41
DK 127 . . . . . 41
DK 128 . . . . . 41
DK 129 – K 25 – M 17 – B 17 – S 14 . . . . . 41
DK 130 . . . . . 42
DK 131 . . . . . 42
DK 132 . . . . . 42
DK 133 . . . . . 42
DK 134 . . . . . 42
DK 135 . . . . . 43
DK 136 . . . . . 43
DK 137 . . . . . 43
DK 138 . . . . . 43
DK 139 . . . . . 44

*Addenda* **45**